# Ἀσματικὴ Ἀκολουθία
# τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν




# Ἱερωνύμου
## τοῦ ἐν Ἀχαρναῖς τῆς Πάρνηθος
## τοῦ καὶ Κτήτορος
## τῆς Γυναικείας Ἱερᾶς Μονῆς
## τῆς Ἁγίας Ἐνδόξου
## Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς

**(1867-1943)**

Οὗ ἡ σεβάσμιος Μνήμη
τῇ 15ῃ Ἰανουαρίου

Ἔκδοσις
Ἱερᾶς Συνόδου
τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν
Ἑλλάδος
Ἀθῆναι 2024

# Ἀσματικὴ Ἀκολουθία
# τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν
# Ἱερωνύμου
## τοῦ ἐν Ἀχαρναῖς τῆς Πάρνηθος
## τοῦ καὶ Κτήτορος
## τῆς Γυναικείας Ἱερᾶς Μονῆς
## τῆς Ἁγίας Ἐνδόξου
## Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς
(1867-1943)




Ἱερὰ Εἰκὼν τοῦ Ὁσίου Ἱερωνύμου.
Ἔργον τοῦ «Ἐργαστηρίου Ἐκκλησιοποιημένης Εἰκονογραφίας».
Ἰανουάριος 2015, Φυλὴ Ἀττικῆς.
Διαστάσεις πρωτοτύπου: 50 x 70 ἑκ.

# Ἀσματικὴ Ἀκολουθία
# τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν
# Ἱερωνύμου
## τοῦ ἐν Ἀχαρναῖς τῆς Πάρνηθος
## τοῦ καὶ Κτήτορος
## τῆς Γυναικείας Ἱερᾶς Μονῆς
## τῆς Ἁγίας Ἐνδόξου
## Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς
**(1867-1943)**

**Οὗ ἡ σεβάσμιος Μνήμη**
**τῇ 15η Ἰανουαρίου**

Ποιηθεῖσα, Χάριτι Θείᾳ,
ὑπὸ ἐλαχίστου Διακόνου
† Ὠ. κ᾿ Φ. Κ.

Ἔκδοσις
Ἱερᾶς Συνόδου
τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν Ἑλλάδος

Ἐν Ἀθήναις, Μηνὶ Ἰανουαρίῳ 2024ῳ



Προσωπικὰ ἀντικείμενα τοῦ Ὁσίου Ἱερωνύμου.
Ἱερὰ Μονὴ Ἁγίας Παρασκευῆς,
Ἀχαρναὶ Ἀττικῆς.



Ἀφιεροῦται
ταπεινῶς καὶ εὐγνωμόνως



Εἰς τὴν Ἀνέσπερον Μνήμην
τοῦ Ἀειμνήστου Γέροντος,
Πατρὸς καὶ Μητροπολίτου ἡμῶν
Κυπριανοῦ
(† 17η Μαΐου 2013ου),

τοῦ καὶ Ἀνακαινιστοῦ
καὶ δευτέρου Κτήτορος
τῆς Γυναικείας Ἱερᾶς Μονῆς
τῆς Ἁγίας Παρασκευῆς
παρὰ τὰς Ἀχαρνὰς Ἀττικῆς.

Ὁ πονήσας καὶ ποιήσας
Ἐλάχιστος Διάκονος
† ὁ Ω. κ᾿ Φ. Κ.

† Ἐν τῇ Ἱερᾷ Μνήμῃ τῶν Ἁγίων Μαρτύρων Φωτίου καὶ Ἀνικήτου,
τῇ 12ῃ Αὐγούστου 2015ῳ ἐκ. ἡμ.



Τὰ ἱερὰ Λείψανα καὶ ἡ ἁγία Κάρα
τοῦ Ὁσίου Ἱερωνύμου.
Ἱερὰ Μονὴ Ἁγίας Παρασκευῆς,
Ἀχαρναὶ Ἀττικῆς.

**2.1.2024 ἐκ. ἡμ.**



# Περιεχόμενα


σελ. ζ **Ἀ**φιέρωσις εἰς τὸν Ἀείμνηστον Μητροπολίτην Κυπριανὸν († 17.5.2013).

σελ. ι **Φ**ωτογραφία καὶ **Κ**είμενα τοῦ Ὁσίου καὶ Ὁμολογητοῦ.

σελ. ια **Χ**ρονολόγιον.

σελ. ιγ **Π**ροοιμιάζοντες.

σελ. 1-20 **Ἱ**ερὰ **Ἀ**κολουθία.

- **Μ**ικρὸς Ἑσπερινός.
- **Μ**έγας Ἑσπερινός.
- **Ὄ**ρθρος.
- **Θ**εία Λειτουργία.
- **Μ**εγαλυνάριον.

σελ. 21 **Π**ερὶ τῶν ἐν ἑκάστῃ Ὠδῇ τῶν Κανόνων τοῦ Ὄρθρου ψαλλομένων Τροπαρίων.

σελ. 22 **Ὕ**μνος εἰς τὴν Ἁγίαν Ὁσιοπαρθενομάρτυρα τοῦ Χριστοῦ Παρασκευήν.

σελ. 23 **Ἐ**πίμετρον.

- **Ἀ**ναγνώσματα Ἑσπερινοῦ.
- **Ε**ὐαγγέλιον Ὄρθρου.
- **Ἀ**πόστολος Λειτουργίας.
- **Ε**ὐαγγέλιον Λειτουργίας.

σελ. 35 **Ἑ**ρμηνευτικὸν **Λ**εξιλόγιον.

σελ. 42 «**Π**ρὸς τοὺς ἁπανταχοῦ Γνησίους Ὀρθοδόξους».

σελ. 43 **Ὀ**λίγα τινὰ διὰ τὴν Ἀναγνώρισιν τῶν Ἁγίων.

σελ. 46 **Ε**ὐχαριστίες. **Χ**ειρόγραφος Παραίνεσις.






**Ὅσιος Ἱερώνυμος**
**ὁ ἐν Ἀχαρναῖς τῆς Πάρνηθος**
**(1867-1943)**

## Σημεῖα τοῦ εὐσεβοῦς Χριστιανοῦ*

«Ὁ ἀληθῶς εὐσεβὴς Χριστιανὸς διακρίνεται διὰ τῶν ἑξῆς σημείων καὶ ἔργων: • Εἶναι πάντοτε ὡπλισμένος ἔσωθεν μὲ τὴν εὐχάριστον ἐκείνην ὑπομονὴν καὶ πραότητα, τὴν ὁποίαν χαρίζει ἡ ἀληθινὴ εὐσέβεια, εἰς ὅσους ἐμπνέονται ἀπὸ αὐτήν. • Πλουτεῖ ἐν τῇ ἑαυτοῦ ψυχῇ καὶ καρδίᾳ, ἀείποτε τὸ μέγιστον θεῖον δῶρον τῆς μὴ ἐκπιπτούσης ποτὲ Εὐαγγελικῆς ἀγάπης. • Εἰς αὐτὸν τὸ μῖσος οὐκ ἔχει διαμονήν, ἡ πονηρία οὐχ εὑρίσκει τόπον ἀναπαύσεως, ἡ σαρκολατρεία μακρὰν αὐτοῦ ὑπάρχει, ἡ ὑπερηφάνεια κεῖται νεκρὰ ὑπὸ τοὺς πόδας αὐτοῦ. • Ὁ δὲ ἐγωϊσμὸς εἶναι δεσμευμένος μὲ τὰς σιδηρᾶς ἁλύσεις τῆς θεοφιλοῦς ταπεινώσεως».

## Δοξολογικὸν καὶ Ὁμολογιακὸν*

«Δεδοξασμένον τὸ ὄνομα* Σοῦ Κύριε Θεέ μου,* διὰ τὴν ἀγάπην Σου εἴμεθα* ἕτοιμοι χαρμοσύνως,* νὰ ὑποστῶμεν θάνατον* ἔνδοξον μαρτυρίου.* Τὴν Πίστιν τῶν Πατέρων μας,* τῶν θαυμαστῶν Ἁγίων,* ποτὲ δὲν θὰ ἀφήσωμεν,* ποτὲ δὲν θὰ δεχθῶμεν* προσθήκην ἢ ἀφαίρεσιν,* ἔστω γνωστὸν εἰς ὅλους.* Καλῶς τὰ πάντα ἔχουσιν,* οἱ Ἅγιοι ἁγίως* ἐθέσπισαν, ἐδίδαξαν* καὶ ἔταξαν ἀρίστως.* Ὁ γὰρ τολμῶν τὰ ἅγια* ἵνα μεταῤῥυθμίσῃ,* νοσεῖ ἀσθένειαν δεινήν,* ἀσέβειαν τοῦτ᾽ ἔστιν,* τὰ ἀσεβῆ γὰρ ἀγαπᾷ,* δέχεται καὶ φυλάττει».*

---

(*) Πνευματικοῦ Ἱερωνύμου Ἱερομονάχου, Ἁγιορείτου Κρητός, **«Ὁ Καλὸς Πατήρ, ἤτοι βιβλίον ψυχωφελέστατον πᾶσι τοῖς εὐσεβέσι Χριστιανοῖς, Κληρικοῖς καὶ Λαϊκοῖς»**, 1933.



## Χρονολόγιον

1867 Γέννησις στὸ χωριὸ Βλάτος τῆς Ἐπαρχίας Κισάμου, τοῦ Νομοῦ Χανίων, τῆς Νήσου Κρήτης.

- Κατὰ κόσμον Ἰωάννης Γερ(ο)αντωνάκης, τοῦ Κωνσταντίνου καὶ τῆς Εἰρήνης.
- Φοίτησις στὸ Σχολεῖο τῆς Ἱερᾶς Μονῆς Χρυσοπηγῆς, στὰ Χανιά.
- Σύνδεσις (δεκαετία τοῦ ’70) ἐν Χριστῷ φιλίας μὲ τὸν συμμαθητὴ καὶ συντοπίτη του Γεώργιο Καρπαθάκη (γεν. 1.3.1861), τὸν μετέπειτα Ἁγιορείτη Πνευματικὸ Ματθαῖο Λαυρεώτη καὶ Σιμωνοπετρίτη, τέλος δὲ Ἐπίσκοπο Βρεσθένης (1935-1950).

1876 Ὁ Γεώργιος Καρπαθάκης ἀναχωρεῖ γιὰ Ἀλεξάνδρεια (Γυμνάσιο, 1876-1880), καὶ ἔπειτα μεταβαίνει στὰ Ἱεροσόλυμα (Θεολογικὴ Σχολὴ Τιμίου Σταυροῦ, 1880-1886).

- Ὁ Ἰωάννης διορίζεται Δημοδιδάσκαλος στὴν πατρίδα του.

1886 Ὁ Γεώργιος Καρπαθάκης, ὡς Ἱεροδιάκονος ἤδη, 25 ἐτῶν, στὸ Ἅγιον Ὄρος, ὅπου κείρεται Μεγαλόσχημος, ὡς Ματθαῖος Μοναχὸς (26.9.1886).

1891 Ὁ Ἰωάννης στὸ Ἅγιον Ὄρος (24 ἐτῶν).

- Ἐντάσσεται στὴν Ἱερὰ Μονὴ Ἁγίου Παύλου.

1893 Κείρεται Μοναχός.

1897 Χειροτονία Διακόνου καὶ Πρεσβυτέρου.

- Ἐρημίτης στὸ Κάθισμα τῆς Ἁγίας Τριάδος.

1918 Πρώτη ἔξοδος ἀπὸ τὸ Ἅγιον Ὄρος.

- Μετάβασις στὴν Κρήτη. Φοβερὰ ἐπιδημία ἱσπανικῆς γρίππης.

1920 Στὴν Ἱερὰ Μονὴ Σίμωνος Πέτρα.

- Στὴν Καλύβη τῶν Ἁγίων Πάντων τῆς Ἱερᾶς Σκήτης τοῦ Κουτλουμουσίου.

1920 Δευτέρα ἔξοδος ἀπὸ τὸ Ἅγιον Ὄρος.

- Μὲ τὸν Σιμωνοπετρίτη Ἀρχιμανδρίτη Ματθαῖο Καρπαθάκη, ὁ ὁποῖος τότε ἦταν στὸ Σιμωνοπετρίτικο Μετόχι τῆς Ἀναλήψεως στὸ Παγκράτι τῶν Ἀθηνῶν, μεταβαίνει στὴν Κρήτη. Μεγάλη ἐπιδημία ἑλονοσίας.

1920 **Γ**νωριμία μὲ τὴν τότε 17χρονη Ἀνδρομάχη Ἡλιοπούλου, μετέπειτα Γερόντισσα Χριστονύμφη καὶ ἱδρύτρια τῆς Ἱερᾶς Μονῆς Ἁγίας Παρασκευῆς Ἀχαρνῶν Ἀττικῆς.

1923 **Ὁ**ριστικὴ ἔξοδος ἀπὸ τὸ Ἅγιον Ὄρος, λόγῳ σοβαρᾶς παθήσεως τῶν ὀφθαλμῶν. **Σ**ταδιακὴ ἀπώλεια τῆς ὁράσεως.

● Ἔ**Ε**λευσις καὶ παραμονὴ στὴν Ἀθήνα.

1924 **Ἀ**ντιτάσσεται σθεναρῶς, λόγῳ καὶ ἔργῳ, στὴν Ἡμερολογιακὴ Καινοτομία.

● **Ἄ**σκησις ποιμαντικοῦ ἔργου, διώκεται ἀπὸ τοὺς Καινοτόμους, Ἀγὼν Ὁμολογιακός.

1926 † **Ἵ**δρυσις τῆς Ἱερᾶς Μονῆς τῆς Ἁγίας Παρασκευῆς Ἀχαρνῶν, στοὺς πρόποδες τῆς Πάρνηθος, ὡς Μετόχιο τῆς Ἱερᾶς Μονῆς Ἁγίου Παύλου.

● **Ἱ**δρύτριες οἱ πνευματικές του θυγατέρες Ἀνδρομάχη Ἡλιοπούλου (Γερόντισσα Χριστονύμφη) καὶ ἡ κατὰ σάρκα μητέρα της Ἀγγελικὴ (Μοναχὴ Ἀγαθονίκη).

● **Θ**λίψεις, συκοφαντίες, διωγμοί, μέχρι καὶ ἀπόπειρες δολοφονίας του.

● **Π**ροορατικὸς καὶ σημειοφόρος Πνευματικός - Ἐξομολόγος.

1943 † **Κοίμησις ὁσιακή, 15η Ἰανουαρίου.**

2000 **Ἀ**νακομιδὴ τῶν ἱερῶν Λειψάνων, 13η Σεπτεμβρίου, ὑπὸ τοῦ Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς Κυπριανοῦ († 17.5.2013).

2013 **Σ**υντάσσεται ἡ πρώτη ἐκτενὴς Βιογραφία τοῦ Ἁγίου.

2015 **Ἁ**γιογραφεῖται ἡ πρώτη Εἰκόνα τοῦ Ἁγίου (Ἰανουάριος).

2015 **Σ**υντάσσεται ἡ Ἱερὰ Ἀκολουθία τοῦ Ἁγίου (Αὔγουστος).

2016 **Ψ**άλλεται ἀνεπισήμως ἡ Ἱερὰ Ἀκολουθία τοῦ Ἁγίου γιὰ πρώτη φορά, κατὰ τὴν ἱερὰν Αὐτοῦ Μνήμην (Ἰανουάριος).

2023 **Ἀ**ποφασίζεται Συνοδικῶς (Συνεδρίασις 5ης/18ης Ὀκτωβρίου 2023), νὰ πραγματοποιηθῆ ἡ Διακήρυξις τῆς Ἁγιότητος καὶ ἡ Ἁγιοκατάταξις Αὐτοῦ τὴν 26ην Μαΐου 2024 ἐκ. ἡμ., Σάββατον τῆς Σαμαρείτιδος.



# Προοιμιάζοντες

**Δόξα** τῷ Θεῷ πάντων ἕνεκα! **Τ**ριὰς Ἁγία, δόξα Σοι!...

**Μ**ὲ βαθειὰ ἐπίγνωσι τῆς ἀδυναμίας μας καὶ εἰλικρινῆ ὁμολογία τῆς πολυειδοῦς ἀνεπάρκειάς μας, φιλολογικῆς-ὑμνογραφικῆς-ποιητικῆς, παραδίδουμε καὶ τὴν παροῦσα ἐργασία μας στὴν δημοσιότητα, διευκρινίζοντες ταπεινὰ τὰ ἑξῆς.

* * *

**Κατεβλήθη** ἐπὶ τούτῳ προσπάθεια, ὥστε τὰ ἱερὰ κείμενα τῆς παρούσης Ἀκολουθίας, ὅπως καὶ τὰ κείμενα ἄλλων προσφάτων ἐργασιῶν μας,

● νὰ διατηρήσουν μέν πως τὴν ἀρχαιοπρέπεια τοῦ ὕφους, προκειμένου νὰ μὴν διακοπῇ ἡ συνέχεια τῆς Ὑμνογραφικῆς Παραδόσεώς μας, ἀλλὰ ταυτοχρόνως

● νὰ εἶναι ἁπλούστερά πως καὶ περισσότερο προσεγγίσιμα στὸν σύγχρονό μας ἀναγνώστη-ἀκροατή, ὁ ὁποῖος δὲν εἶναι ἐξοικειωμένος μὲ τὴν διαχρονικὴ γλωσσική μας Παράδοσι.

**Ἐπὶ** τῇ βάσει τῆς *Ἀρχῆς* αὐτῆς,

● λέξεις καὶ φράσεις λίαν ἀρχαιοπρεπεῖς καὶ συντακτικὰ σχήματα *βαρύτατα* ἕως καὶ *ἀκατανόητα* ἔχουν ἐπιμελῶς ἀποφευχθῆ·

● ὅπου ὅμως ἐν τέλει καὶ κατ᾿ ἀνάγκην ὑπάρχουν ἀσυνήθεις καὶ δυσνόητες λέξεις καὶ φράσεις, αὐτὲς διευκρινίζονται καὶ ἑρμηνεύονται στὸ *Ἑρμηνευτικὸν Λεξιλόγιον*, τὸ ὁποῖο εὑρίσκεται στὸ τέλος τῆς ἐργασίας αὐτῆς.

**Ἡ** *καινοτομία* αὐτὴ ἀποτελεῖ καὶ μίαν ἐλαχίστη συμβολὴ στὴν προσπάθεια νὰ μὴν ἀπολεσθῇ πλήρως καὶ ὁριστικῶς ἡ σχέσις μας μὲ τὴν τόσο πολύτιμη λογία γλωσσική μας Παράδοσι.

* * *

**Ἄμεσο** παρεπόμενο τῆς ἀνωτέρω *Ἀρχῆς:* τὰ Παλαιοδιαθηκικά, Εὐαγγελικὰ καὶ Ἀποστολικὰ Ἱερὰ Κείμενα, Ἑσπερινοῦ-Ὄρθρου-Θείας Λειτουργίας,

● ἐθέσαμε στὸ τέλος τῆς Ἱερᾶς Ἀκολουθίας, στὸ *Ἐπίμετρον·*

● παραθέσαμε δὲ καὶ τὴν νεοελληνικὴ ἑρμηνευτικὴ ἀπόδοσι αὐτῶν, ὄχι βεβαίως πρὸς χρῆσιν *λατρευτικήν-λειτουργικήν*, ἀλλὰ γιὰ τοὺς φιλοπόνους ἀκροατὰς τοῦ θείου λόγου, ἐφ᾿ ὅσον ἀκόμη καὶ ἡ Ἁγία Γραφὴ καθίσταται ὁλονὲν καὶ περισσότερον ἀπρόσιτος γλωσσικῶς καὶ νοηματικῶς.

* * *

**Καὶ** μία ἀκόμη διευκρίνισις.

**Ἐ**σχάτως παρατηρεῖται ἡ αὐξανομένη τάσις νὰ ἐφαρμόζεται στοὺς Ἐκκλησιαστικοὺς Ὕμνους τὸ σύστημα τῆς *διπλῆς στίξεως*, βάσει τῆς δεοντολογίας τῶν ἐπιστημονικῶν ἐκδόσεων, δηλαδὴ οἱ στίχοι χωρίζονται μὲ *ἀστερίσκους*, διατηρουμένων παραλλήλως τῶν σημείων στίξεως, ὅπου τὸ νόημα ἀπαιτεῖ τοῦτο.

**Ἂ**ν καὶ αὐτὴ ἡ *διπλῆ στίξις* εἶναι βεβαίως ὀρθὴ κατὰ τὰ ἄλλα, προετιμήσαμε στὴν παροῦσα Ἱερὰ Ἀκολουθία κατὰ κανόνα τὴν *ἁπλῆ στίξι*, δηλαδὴ ἀποφεύγεται ἡ συνήθης στίξις βάσει τοῦ νοήματος, ἡ δὲ ἀλλαγὴ στίχου ἐμφαίνεται μόνο μὲ τὰ συνήθη σημεῖα στίξεως, ἀναλόγως τῆς περιπτώσεως: κόμμα, ἄνω τελεία, κάτω τελεία, θαυμαστικό, ἐρωτηματικό.

**Π**ροεκρίθη ἡ πρακτικὴ αὐτὴ γιὰ δύο λόγους:

- ἡ πληθὺς τῶν *ἀστερίσκων*, διατηρουμένης καὶ τῆς πληθύος τῶν σημείων στίξεως, ἐπιβαρύνει πολὺ τὰ κείμενα ἐξ ἐπόψεως ὀπτικῆς.
- ἡ *Ἀρχή*, τὴν ὁποία ἐξεθέσαμε προηγουμένως, μᾶς ὡδήγησε στὴν συντακτικὴ ἁπλούστευσι τῶν κειμένων, ὥστε νὰ μὴν ἀπαιτοῦνται κατὰ κανόνα ὅλα τὰ σημεῖα στίξεως, ἐφ᾽ ὅσον ἡ ἀλλαγὴ τῶν στίχων ἔχει ἐπιδιωχθῆ ἐπιμελῶς ἢ νὰ κλείνη νοήματα ἢ νὰ μὴν περιπλέκη συντακτικὰ καὶ νοηματικὰ τὸν Ὕμνο.

**Ἄ**λλωστε, ἡ πρακτικὴ αὐτή, δηλαδὴ τῆς ἀποφυγῆς κατὰ κανόνα πάντων τῶν σημείων στίξεως, διατηρουμένων μόνον στὴν ἀλλαγὴ στίχου, εἶναι κατὰ πάντα σύμφωνος μὲ τὴν ἔντυπη Ὑμνογραφικὴ Παράδοσί μας.

15η Ἰανουαρίου 2024 ἐκ. ἡμ.
*† Ὁσίου Ἱερωνύμου*

Ὁ πονήσας καὶ ποιήσας,
Ἐλάχιστος Διάκονος
*† ὁ Ὠ. κ᾽ Φ. Κ.*





# Ἀσματικὴ Ἀκολουθία

## τοῦ ἐν Ὁσίοις Πατρὸς ἡμῶν Ἱερωνύμου, τοῦ ἐν Ἀχαρναῖς τῆς Πάρνηθος, τοῦ καὶ Κτήτορος τῆς Γυναικείας Ἱερᾶς Μονῆς τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς

(† 15.1.1943 ἐκ. ἡμ.)

**Ψαλλομένη τῇ 15ῃ Ἰανουαρίου**

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

**Ἀκροστιχίς· «ΚΥΠΡΙΑΝΙΤΟΥ»**

Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια δ´.

Ἦχος βαρύς. Ἅγιοι Μάρτυρες.

**Κ**ύριον ἐδόξασας, φερωνύμως Ὅσιε, βίον διανύσας, σημείοις τε καὶ θαύμασιν, ὦ Ἱερώνυμε πανθαύμαστε.

**Ὕ**ψωσας Ὅσιε, Μοναστῶν τὸ ὄνομα, ἐν Ὁμολογίᾳ, Πατρῴων Παραδόσεων, προτείχισμα γενόμενος, ὦ Ἱερώνυμε μακάριε.

**Π**ύργον ἀπόρθητον, καὶ λιμένα γαλήνιον, θεῖον Σεμνεῖον, ἐν Πάρνηθι ἐδόμησας, Ὁσιομάρτυρος Παρασκευῆς.

**Ῥ**εῖθρα τῆς Χάριτος, νῦν ἀπαύστως ῥέουσι, καὶ θαυματουργοῦσιν, ἐκ Θήκης τῶν Λειψάνων Σου, ἱερομύστα Ἱερώνυμε.

Δόξα. Ἰδιόμελον. Ὁ αὐτός.

**Ἴ**δωμεν πιστοί, ἔσοπτρον ἐνθέου βιοτῆς, καὶ Κανόνα Μοναστῶν ὑπέρτιμον, Ἱερώνυμον τὸν φερώνυμον, τοῦ Ἄθω καὶ τῆς Πάρνηθος φωστῆρα· δεηθῶμεν δὲ Αὐτοῦ ἐκτενῶς, ῥυσθῆναι πάσης θλίψεως.

Καὶ νῦν. Θεοτοκίον.
Ἰδιόμελον. Ὁ αὐτός.

**Ἄ**χραντε Μῆτερ τῆς Ζωῆς, ὡραϊσμένη Νύμφη τοῖς κροσσωτοῖς τῆς ἁγνείας, ἔξοχον ἄκουσμα Ἀγγέλων καὶ ἀνθρώπων ἐργαστήριον τῶν δύο τῆς ἑνώσεως φύσεων τοῦ Σωτῆρος· τὸ σεμνολόγημα Ἱερωνύμου τῆς Πάρνηθος· δι᾽ οὗ δίδου Φῶς καὶ Εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

## Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

**Ν**άμασι μυστικοῖς, ἀρδεύονται καρδίαι, λιταῖς Ἱερωνύμου, τῆς Πάρνηθος Σεμνείου, Παρασκευῆς τοῦ Κτήτορος.

**Στίχ. α΄. Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Ἴ**ασιν τῶν ψυχῶν, σωμάτων τε δωρεῖται, Λειψάνων Σου ἡ Θήκη, φερώνυμε ὦ Πάτερ· ἱερωστὶ γὰρ ἔλαμψας.

**Στίχ. β΄. Ο**ἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.

**Τ**ήρησον καὶ ἡμᾶς, ἐν Πίστει τῶν Πατέρων, Συνόδων τε Ἁγίων, δεινὰς δὲ τὰς αἱρέσεις, Συγκρητιστῶν ἀπέλασον.

Δόξα. Τριαδικόν. Ὅμοιον.

**Ὅ**λως ἐν τῷ Φωτί, Τριάδος τῆς Ἁγίας, ὑπῆρξας καὶ ὑπάρχεις, σὺν πᾶσι τοῖς Ὁσίοις, παμμάκαρ Ἱερώνυμε.

Καὶ νῦν. Θεοτοκίον.
Ὅμοιον.

**Ὕ**ψωσας Μαριάμ, ἐν ἔργοις καὶ ἐν λόγοις, τὸν ἐκλεκτόν Σου δοῦλον, τῆς Πάρνηθος τὸ κλέος, τὸν θεῖον Ἱερώνυμον.

* * *

## Ἀπολυτίκια

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

**Ἀ**χαρνῶν τὸν Προστάτην καὶ Φωστῆρα τῆς Πάρνηθος, αἱ τῶν Εὐσεβῶν νῦν χορεῖαι, εὐφημοῦμεν ἐν ᾄσμασι· κυκλοῦντες δὲ τὴν Λάρνακα Αὐτοῦ, θαυμάτων καὶ χαρίτων τὴν πηγήν, ἐν Μονῇ τῆς πανενδόξου Παρασκευῆς, συμφώνως ἐκβοήσωμεν· Πάτερ Ὀρθοδοξίας ὁ Κανών, πάντων Πιστῶν τὸ καταφύγιον, λῦσον Καινοτομίας τὴν ἀχλύν, ὦ Ἱερώνυμε.

Δόξα. Καὶ νῦν.
Θεοτοκίον. Ὁ αὐτός.

**Τ**οῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν Οὐρανῶν, βαστάσασα τὸν Κτίστην Σου. Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί, δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ Τοῦ τόκου Σου.

* * *

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α΄ Στάσιν τοῦ Καθίσματος Α΄ τοῦ Ψαλτηρίου, ἤτοι τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια ἕξ.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἱερώνυμον ἅπαντες, εὐφημήσωμεν σήμερον, τῶν Ὁσίων καύχημα, τὸ νεώτατον, ὅτι ἐν Κρήτῃ καὶ Ἄθωνι, τὸν δρόμον διήνυσε, καὶ ἐν Πάρνηθος Μονῇ, θεῖον δρόμον τετέλεκε· τὸν δοξάσαντα, τὸν Θεὸν ἐν Τριάδι καὶ Μονάδι, καὶ λαβόντα τῶν θαυμάτων, καὶ διοράσεως Χάρισμα.

Ἱερώνυμον στέψωμεν, μελωδίαις καὶ ἄνθεσι, τὸν ἁγνείας σκήνωμα, καὶ θησαύρισμα, ὅτι ἐν κόποις ἐκάθηρε, καὶ ζήλῳ θεόφρονι, τὴν καρδίαν καὶ τὸν νοῦν, τῇ δυνάμει τοῦ Πνεύματος· τὸν ἐγείραντα, τὴν Μονὴν τῆς Παρθένου καὶ Ὁσίας, καὶ Μαρτύρων κορυφαίας, Παρασκευῆς τῆς χριστόφρονος.

Ἱερώνυμον δράμωμεν, φερωνύμως βιώσαντα, καὶ ἐν ὕμνοις σήμερον στεφανώσωμεν, ὅτι τὴν Πίστιν ἐστήριξε, Γνησίῳ Φρονήματι, Καινοτόμων δὲ ἀχλύν, καὶ τὴν πλάνην διέλυσε, καὶ ἀνύψωσεν, εὐσεβῶς τὰ Θεσπίσματα Πατέρων, καὶ ὑπήνεγκε διώξεις, μαρτυρικῇ καρτερότητι.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε φιλοπάτορες, τὸν θαυμαστὸν Ἱερώνυμον, φερωνύμως ἐκλάμψαντα, ὑμνήσωμεν ἅπαντες, καὶ φωταγωγίαις, τῶν Αὐτοῦ Λειψάνων, μυροβλυζόντων θαυμαστῶς, τὴν θείαν Λάρνακα νῦν κυκλώσωμεν, καὶ πόθῳ ἀναδήσωμεν, τιμίαν Κάραν ἐν ἄνθεσι, καὶ Μονὴ ἣν ἀνήγειρε, χορευέτω λαμπρότητι.

Δεῦτε τὸν λαμπρόφθογγον, καὶ χρυσαυγῆ Ἱερώνυμον, Θεοτόκου θεράποντα, Μονὴν τὸν ἐγείραντα, τηλαυγὲς Σεμνεῖον, καὶ σεπτὸν Λιμένα, τὸν προμαχήσαντα στεῤῥῶς, Καινοτομίαν δὲ ἀποσείσαντα, καὶ ζήλῳ καταστέψωμεν, Αὐτοῦ Εἰκόνα χαρίεσσαν, ἐν χαρᾷ ἀσπαζόμενοι, τὰ σεπτὰ Αὐτοῦ Λείψανα.

Δεῦτε τὸν φιλάνθρωπον, καὶ συμπαθῆ Ἱερώνυμον, συγγραφέα θεόληπτον, τοῦ Ὄρους τὸ ἥδυσμα, τοῦ Ἁγιωνύμου, καὶ Ὁμολογίας, τὸ ἐγκαλλώπισμα τερπνόν, θεοσημίαις τὸν διαλάμψαντα, τὸν πλείστοις δὲ χαρίσμασι, καὶ διοράσει φωτίσαντα, Ἀχαρνῶν καὶ τῆς Πάρνηθος, εὐσεβῶν τὰ συστήματα.

Δόξα. Ἦχος δ΄.

Μονὴ τῆς ἐνδόξου Μάρτυρος, σήμερον ἀγάλλεται, καὶ Ἀγγέλων αἱ Τάξεις φαιδρῶς πανηγυρίζουσι, καὶ Λειψάνων τὴν Σορὸν Ἱερωνύμου, κυκλοῦντες οἱ Πιστοί, εὐλαβῶς ἀνυμνοῦσι Χριστόν· Ὁσίων γὰρ τὸ κλέος πρόκειται, τὸ ἐνδιαίτημα τῆς Τρι-

άδος· ἰδοὺ ψάλλουσι χορεῖαι τῶν Πατέρων, Ὁμολογητῶν Ἁγίων πλήθη, καὶ τῶν Μαρτύρων δῆμοι, καὶ Μοναζόντων πᾶσα τάξις, ἐν ὕμνοις μελιῤῥύτοις. Διὸ θεοχαρίτωτε Πατήρ, παθῶν καὶ τῶν αἱρέσεων, ταραχὴν καὶ σύγχυσιν, ταῖς λιταῖς Σου κόπασον, Ὀρθοδόξους δὲ Γνησίους, ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ τηρῶν.

Καὶ νῦν. Θεοτοκίον.
Ὁ αὐτός.

**Ὁ** διὰ Σὲ Θεοπάτωρ Προφήτης Δαβίδ, μελῳδικῶς περὶ Σοῦ προανεφώνησε, τῷ μεγαλεῖά Σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν Σου. Σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ Σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν Ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν πρόβατον, τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ· καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος. **Φῶς** ἱλαρόν.
Τὸ Προκείμενον τῆς ἡμέρας.

* * *

**Τὰ Ἀναγνώσματα**

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. γ΄ 1-9.

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.

**Ἔ**δοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,

**Κ**αὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ.

**Κ**αὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·

**Κ**αὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους Ἑαυτοῦ·

**Ὡ**ς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.

**Κ**αὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται·

**Κ**ρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.

**Ο**ἱ πεποιθότες ἐπ᾽ Αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. ε΄ 15-23, ϛ΄ 1-3.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.

Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.

Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον·

Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα·

Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.

Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπὸν ἁλοῦνται·

Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι.

Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως.

Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς.

Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς·

Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν·

Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου, Ὃς ἐξετάσει ὑμῖν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. δ΄ 7-15.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται·

Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται·

Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη·

Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ·

Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς·

Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον,

Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις Αὐτοῦ.

* * *

## Εἰς τὴν Λιτὴν
### Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Χελιδόνα γλυκυτάτην εὐφημήσωμεν πάντες, φέρουσαν τὸ ἔαρ· τὸν θεῖον Ἱερώνυμον, Πάρνηθος τὸν ἀστέρα, ἀνίας τὸν χειμῶνα τὸν λύοντα θαυμαστῶς· τῶν γὰρ Αὐτοῦ Λειψάνων ἡ Λάρναξ εὐωδίαν ἀναβλύζει, τὰς θλίψεις ἀπελαύνουσα, καὶ νέμουσα πᾶσι παράκλησιν.

Ἦχος δ΄.

Τὸν θησαυρὸν τῆς Χάριτος, τὸν ἀδαπάνητον Πιστοί, περιχαρῶς καὶ ἐν ᾄσμασι, κροτήσωμεν τὸν σεπτὸν Ἱερώνυμον, τὸν διὰ Χριστὸν ἀσκήσαντα, ἐν Ὄρει μὲν Ἄθωνος, ἐν δὲ Πάρνηθος λάμψαντα, τὸν Γνησίῳ Φρονήματι γράψαντα, καὶ πλάνης τὰς ῥήσεις ὀλέσαντα· Αὐτοῦ γὰρ θειοτάτῳ τῷ φέγγει, τῶν Καινοτόμων σκότος ἀπηλάθη καὶ ἠδαφίσθη μετ᾽ ἤχου αἵρεσις· Μονὴ δὲ Αὐτοῦ, μυροβλύζει ὡς τερπνὸς ἀνθών.

Ἦχος πλ. β΄.

Ἱερώνυμε τρισμάκαρ τῶν Πιστῶν ἡ φαιδρότης, Σὲ διὰ Χριστὸν ἐκθειάζομεν· ἤγειρας ἐν τῇ Πάρνηθι Μονήν, τῆς Παρθενομάρτυρος Παρασκευῆς, Ὀρθοδόξων προσφύγιον· ἔνθα καὶ Λειψάνων Σου Λάρναξ, ἡ Θείαν Χάριν ἀναβλύζουσα, καὶ Γνησιότητα τῆς Πίστεως κηρύττουσα· διὸ θέλγεται πληθὺς τῶν Ὀρθοδόξων θαύμασι τοῖς Σοῖς, καὶ γεραίρει Σε, ὡς φιλέορτος.

Ἦχος πλ. δ΄.

Ὕμνοις καὶ θυμιάμασιν Ὀρθοδόξων τὸ σύστημα, τὸν Ἱερώνυμον ἐν ἐγκωμίων, τοῖς ἄνθεσι καὶ λόγων, Θείᾳ Χάριτι ὑψώσωμεν· οὗτος γὰρ ἄλλος πόκος ὡράθη τοῦ Γεδεὼν τῇ ἀσκήσει, καὶ ἐν ψυχῇ τὴν δρόσον, τῶν οὐ-

ρανίων δώρων ἐδέχθη, καὶ νῦν εὐσπλάγχνῳ καρδίᾳ δροσίζει πιστούς, τῶν δὲ Καινοτόμων τὰς πλάνας καὶ αἱρέσεις δεινάς, κατασβέσας, Θείαν Δόξαν προσείληφε.

Δόξα. Ἦχος πλ. α΄.

**Δ**εῦτε καὶ προσέλθωμεν εἰς Μονὴν τὴν ἁγίαν, καὶ τὸν τῆς Πάρνηθος λιμένα θεῖον, καὶ ἐκ τῆς Λάρνακος ἀντλήσωμεν Ἱερωνύμου τοῦ σεπτοῦ, Χάριν τὴν καινοποιοῦσαν τὰς ψυχάς· καὶ δῶμεν δόξαν Χριστῷ, τῷ ἐγείραντι ἐσχάτως τὸν φερώνυμον, Ποιμένα καὶ Διδάσκαλον, Γνησίων Ὀρθοδόξων ἀγλάϊσμα.

Καὶ νῦν. Θεοτοκίον.
Ὁ αὐτός.

**Μ**ακαρίζομέν Σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε οἱ Πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

* * *

## Εἰς τὸν Στίχον
### Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου τρία.

Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν.

**Χ**αίρει Παρασκευῆς ἡ Μονή, Μεγαλομάρτυρος θεόδμητον Σκήνωμα, καὶ γὰρ συντιμᾶται Κτήτωρ, ὁ Ἱερώνυμος νῦν, τῶν Ὁσίων νέον ἐγκαλλώπισμα· Αὐτὸς γὰρ ἀνήγειρε, τοῖς Πιστοῖς καταφύγιον, θησαυροδότην, Χαρισμάτων τοῦ Πνεύματος, τῶν Λειψάνων δέ, τῶν Αὐτοῦ φυλακτήριον· πάντες νῦν μακαρίσωμεν, τῆς Πάρνηθος ὅρπηκα, τῶν Ἀχαρνῶν δὲ φωστῆρα, Ὀρθοδοξίας τὸ τείχισμα, στεῤῥόν τε δογμάτων, καὶ τῆς πλάνης Καινοτόμων, ὀφθέντα ὄλεθρον.

**Στίχ. Μ**ακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Χ**αίρει τῶν φιλεόρτων πληθύς, καὶ παννυχίως ἑορτάζει ἐν ᾄσμασι, τὴν Μνήμην ἐπιτελοῦσα, Ἱερωνύμου σοφοῦ, τοῦ λαμπρῶς ἐσχάτως διαλάμψαντος· Θεῷ συγγιγνόμενος, ἀγρυπνίαις καὶ στάσεσι, πρὸς τὴν Ἡμέραν, τὴν Ἀνέσπερον ἴθυνεν, αὐγαζόμενος τὴν ψυχὴν Θείᾳ Χάριτι· δεῦτε καὶ νῦν ὑψώσωμεν, θησαύρισμα Πίστεως, χειμαζομένων λιμένα, καὶ ἰατρεῖον ἀδάπανον, πηγὴν εὐλογίας, τὸν θεόπνευστον Ποιμένα, καὶ θεοδόξαστον.

**Στίχ. Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Χ**αίρει ὁ τῶν Πατέρων Χορός, τῇ Πανηγύρει τοῦ Προμάχου τῆς Πίστεως, εὐτόνως τεμόντος πλάνας, ταῖς ἱεραῖς συγγραφαῖς, τοῦ Ἱερωνύμου τοῦ παμμάκαρος· ἐκ Κρήτης ὁρμώμενος, καὶ ἐξ Ἄθω ἐρχόμενος, Παρασκευῆς δέ, εὐ-

δοκίᾳ τῆς Μάρτυρος, εἰς τὴν Πάρνηθα τοὺς ἀγῶνας ἐτέλεσε· σκότος τὸ τῆς αἱρέσεως, Φωτὶ τῷ τῆς Χάριτος, καὶ Διδαχαῖς Ἀληθείας, καὶ τῶν Πατέρων διέλυσε· Γνησίων ἡ δόξα, Καινοτόμων δὲ αἰσχύνη, δειχθεὶς τῇ Χάριτι.

Δόξα. Ἰδιόμελον. Ὁ αὐτός.

**Δ**εῦτε ὁ δῆμος, τῶν πιστῶν τῆς Ὀρθοδοξίας, μελωδίαις ᾀσμάτων, τὸν νέον ὑμνήσωμεν, Πατέρα καὶ Ποιμένα, Ἱερώνυμον τὸν Ὅσιον· Ὄρος Πάρνηθος σκίρτα, ἡ δὲ Πόλις τῶν Ἀχαρνῶν, πανηγύριζε, χαῖρε καὶ χόρευε· καὶ Ἄθωνος Ὄρος, ὁμοῦ καὶ Κρήτης ἡ νῆσος· οὗτος γὰρ πλουτήσας τὴν φερώνυμον κλῆσιν, θείως ὡσιώθη, ἱερωτάτως ἀσκητεύων· καὶ ὁμολογήσας Χριστόν, ἱλαρῷ φωτὶ τῆς Τριάδος ἔλαμψεν.

Καὶ νῦν. Θεοτοκίον.
Ἰδιόμελον. Ὁ αὐτός.

**Ν**αὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι᾽ ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ᾽ εἰκόνα ἰδίαν χειρὶ τῇ Ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς Αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

* * *

## Ἀπολυτίκια

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

**Ἀ**χαρνῶν τὸν Προστάτην καὶ Φωστῆρα τῆς Πάρνηθος, αἱ τῶν Εὐσεβῶν νῦν χορεῖαι, εὐφημοῦμεν ἐν ᾄσμασι· κυκλοῦντες δὲ τὴν Λάρνακα Αὐτοῦ, θαυμάτων καὶ χαρίτων τὴν πηγήν, ἐν Μονῇ τῆς πανενδόξου Παρασκευῆς, συμφώνως ἐκβοήσωμεν· Πάτερ Ὀρθοδοξίας ὁ Κανών, πάντων Πιστῶν τὸ καταφύγιον, λῦσον Καινοτομίας τὴν ἀχλύν, ὦ Ἱερώνυμε.

Δόξα. Καὶ νῦν.
Θεοτοκίον. Ὁ αὐτός.

**Τ**οῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν Οὐρανῶν, βαστάσασα τὸν Κτίστην Σου. Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί, δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ Τοῦ τόκου Σου.

* * *

# Ἐν τῷ Ὄρθρῳ

## Καθίσματα

**Μετὰ τὴν α′ Στιχολογίαν.**

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν φωτοφόρον νῦν, ὦ Ἱερώνυμε, καὶ τὴν χαρίεσσαν τελοῦμεν Μνήμην Σου, ἐν τῇ Μονῇ Σου τῇ σεπτῇ, τῆς Πάρνηθος εὐφροσύνως· θεῖα μέν Σου Λείψανα, προσκυνοῦντες ἐν ᾄσμασι, δόξαν δὲ Ἀγώνων Σου, ἐν Ἀσκήσει καὶ Πίστει τε, ὑμνοῦντες στεντορείως βοῶμεν, Χαῖρε ὦ Πάτερ θεοδρόμε!

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Ὁ ὑπερούσιος, Θεὸς καὶ Κύριος, ἐκ Σοῦ σεσάρκωται, δι᾽ ἀγαθότητα, τὸ καθ᾽ ἡμᾶς οὐσιωθείς, καὶ μείνας ὅπερ πέφυκεν· ὅθεν καὶ Θεάνθρωπον, τοῦτον σέβοντες Πάναγνε, Σὲ τὴν Ἀπειρόγαμον, Θεοτόκον κηρύττομεν, δοξάζοντες τὸ μέγιστον θαῦμα, τῆς Σῆς ἀσπόρου κυήσεως.

**Μετὰ τὴν β′ Στιχολογίαν.**

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τὰς τῶν Πατέρων Διδαχὰς ἐν πίστει στέρξας, καὶ ἐν Μονῇ Παρασκευῆς ὁσίως ζήσας, ὡς θεόδηλος, πᾶσι πιστοῖς ἀνεφάνης· συγγράψας ἐν θεοπνεύστῳ νῷ καὶ χειρί, τὰς πλάνας τῶν Καινοτόμων ἦρας στεῤῥῶς, ὅλως θεῖος δὲ γέγονας, πλησθεὶς τοῦ Θείου Φωτός, διὸ καὶ εὐφημοῦμέν Σε, Πάτερ ἔμπλεε Χάριτος.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ Σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι, καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

**Μετὰ τὸν Πολυέλεον.**

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἱερώνυμε Πάτερ θεοδρομῶν, φερωνύμως θεόθεν τὰς ἀμοιβάς, πλουσίως εἰσδέδεξαι δωρεὰς τὰς τοῦ Πνεύματος· καὶ Μονὴν τὴν θείαν, ἐγείρας εἰς Πάρνηθα, γαληνὸν λιμένα, ψυχῶν ἱλαστήριον, καὶ θεοφεγγέσι, συγγραφαῖς Σου καὶ λόγοις κατηύφρανας Ποίμνιον, Καινοτόμους δὲ ᾔσχυνας· ὅθεν νῦν Σου δεόμεθα, Χάριτος Φωτὶ καὶ ἡμᾶς, ἐν ταῖς θείαις τρίβοις πάντας ἴθυνον, ἐν καρδίᾳ καὶ πόθῳ θεόφρονι.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Ὁ τῶν ὅλων Δεσπότης καὶ Ποιητής, ἐξ ἀχράντου Σου μήτρας σάρκα λαβών, προστάτιν Σε ἔδειξε, τῶν ἀνθρώπων Πανάμωμε· διὰ τοῦτο πάντες, πρὸς Σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου καὶ πάσης κολάσεως, τῆς ἐκεῖσε δεόμεθα, ἵνα πίστει βοῶμέν Σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ δοθῆναι πᾶσι Κόρη ἄφεσιν, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ Σου.

## Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου

**Οἱ** Ἀναβαθμοί.

**Τὸ** α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

**Προκείμενον.** Ἦχος δ΄.

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ. (δὶς)

**Στίχ. Τ**ί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Τὸ** Πᾶσα πνοή.

**Εὐαγγέλιον. Βλέπε** Δεκεμβρίου Ε΄, τὸ τῆς Λειτουργίας, ἐκ τοῦ κατὰ Ματθαῖον ια΄ 27-30.

**Βλέπε Ἐπίμετρον**, σελ. 29.

**Ὁ** Ψαλμὸς Ν΄.

**Δ**όξα.

**Τ**αῖς τοῦ Σοῦ Ὁσίου.

**Κ**αὶ νῦν.

**Τ**αῖς τῆς Θεοτόκου.

**Στίχ. Ἐ**λέησόν με ὁ Θεός, κατὰ τὸ μέγα Ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν Οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Ἰ**διόμελον.

Ἦχος πλ. β΄.

**Δ**εῦτε χορεῖαι, τὴν δόξαν Χριστοῦ ποθοῦσαι, ἐνθέοις ᾄσμασι τιμήσωμεν, τὸν νέον ἐν ἀσκηταῖς, κάλλος σεπτόν, Ἱερώνυμον· τῆς Τριάδος ἥδυσμα πανθαύμαστον, τῆς Παρθένου, ῥήτορα θεόφθογγον, οὗ τὰ ἆθλα ἐθαύμασαν Ἄγγελοι· καὶ Λειψάνοις, Αὐτοῦ προσπέσωμεν, τὴν Χάριν κράζοντες, νέμοις ἅπασιν.

* * *

## Οἱ Κανόνες

**Ὁ** τῆς Θεοτόκου, μετὰ τῶν Εἱρμῶν, καὶ ὁ τοῦ Ὁσίου, ἄνευ Εἱρμῶν*.

**Τῆς Θεοτόκου,** ἄνευ Ἀκροστιχίδος, φέρων τὰ ὅσα πρὸς Αὐτὴν Ὀνομαστήρια.
Ὁσίου Νικοδήμου Ἁγιορείτου.

Ἦχος δ΄.

Ὠδὴ α΄. Ὁ Εἱρμός.

«**Ἀ**νοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, Ταύτης τὰ θαύματα».

**Ὑ**μνῆσαι βουλόμενος, τὰ μεγαλεῖά Σου Ἄχραντε, τοῦ λόγου μοι δώρησαι, τὴν καλλιέπειαν, Μήτηρ πέλουσα, τοῦ μόνου Θεοῦ Λόγου, καὶ λύσιν πρυτάνευσον, τῶν ἐπταισμένων μοι.

**Μ**ωσῆς ὁ Θεόπνευστος, Βάτον προεῖδέ Σε Δέσποινα, πυρὶ φλεγομένην μέν, μὴ καιομένην δέ, προπιστούμενος, τὸ ἐπὶ Σοὶ Παρθένε, χωρῆσαν ἐν μήτρᾳ Σου πῦρ τῆς Θεότητος.

**Π**ροφήτης ὁ ἔνθεος, Ῥάβδον καὶ Ῥίζαν προέφη Σε, Μαρία θεόνυμφε, ὁ μεγαλόφωνος· ἡμεῖς δὲ Ἔφορον, τοῦ Ἄθω Σε καλοῦμεν, οἱ δοῦλοί Σου Πάναγνε, νῦν καὶ Προστάτιδα.

**Ἐ**κ θείας ἀκήκοε, Γῆν ὁ Θεόπτης Ἁγίαν Σε, φωνῆς προσειπούσης Σε, τὴν ὑπερένδοξον, διὸ Δέσποινα, πόλου καὶ γῆς ὡς οὖσα, συντήρει καὶ φύλαττε τοὺς Σὲ δοξάζοντας.

---

(*) **Β**λ. ἐν σελίδι 21ῃ τῆς παρούσης, *Περὶ τῶν ἐν ἑκάστῃ Ὠδῇ τῶν Κανόνων τοῦ Ὄρθρου ψαλλομένων Τροπαρίων.*

**Τοῦ Ὁσίου,** οὗ ἡ Ἀκροστιχίς·
«Ἱερωνύμῳ Νέῳ Κυπριανοῦ στόνος».

Ἦχος πλ. δ΄.

Ὠδὴ α΄. Ἄσωμεν τῷ Κυρίῳ.

**Ἵ**λεως νῦν γενοῦ μοι, Σῶτερ καὶ Θεέ μου, τῷ Φωτὶ Πατρός, καὶ Παρακλήτου νεύσει, δός μοι χεῖρα, τιμᾶν Ἱερώνυμον.

**Ἔ**λεος νῦν αἰτοῦμεν, πόθῳ προσκυνοῦντες, ἐν Μονῇ σεπτῇ, Παρασκευῆς τῆς θείας, τῶν Λειψάνων, τὴν Θήκην τοῦ Κτήτορος.

Θεοτοκίον.

**Ῥ**ήσεις τῶν Καινοτόμων, θείαις συγγραφαῖς Σου, ἐδαφίσας Σύ, ὦ τῶν Γνησίων κλέος, τὴν Θεοτόκον, ἀνύμνεις ποιήμασιν.

**Καταβασία· Χέρσον ἀβυσσοτόκον.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

**«Τ**οὺς Σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ Σου, στεφάνων δόξης ἀξίωσον».

**Ἀ**λήθειαν κράζει Σε Παρθένε, καὶ Γῆν τε ἐπίσης ποθητήν, ὁ Ψαλμῳδὸς ἐν Πνεύματι, ἡμεῖς δέ Σου οἱ τρόφιμοι, Προστάτιδα καὶ Δέσποινα, τοῦδε Σοῦ Κλήρου κηρύττομεν.

**Θ**αιμὰν ὁ Προφήτης Σε κηρύττει, Παρθένε ὁ θεῖος Ἀββακούμ, καὶ Ὄρος αἰνιττόμενος, τὸν ἀπὸ Σοῦ τμηθέντα τε, Λίθον ἀτμήτως Ἄχραντε, Ὃν Δανιὴλ προεώρακεν.

**Ἐ**λαίαν κατάκαρπόν Σε ἔφη, ἑστῶσαν ἐν οἴκῳ τοῦ Θεοῦ, καὶ Κιβωτὸν Πανάχραντε, ὁ Ψαλμῳδὸς ἐν Πνεύματι, ἡμεῖς δέ Σε τὴν Ἔφορον, Σώτειραν πάντων κηρύττομεν.

**Κ**αλεῖ Σε τὴν μόνην Θεοτόκον, καὶ Θρόνον Παρθένε ὑψηλόν, ὁ μεγαλοφωνότατος, καὶ ἄλλος Πύλην λέγει Σε, ἡμεῖς δὲ θαυμασίοις Σου, τὰ μεγαλεῖα δοξάζομεν.

**Τοῦ Ὁσίου.**

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

**Ὤ**φθη φυλακτήριον, καὶ ἀῤῥαγέστατον τείχισμα, Σοῦ ἡ Μονή, Πάρνηθος ἐν Ὄρει, Ἱερώνυμε Ὅσιε.

**Ν**εύεις παρακλήσεσι, τῶν δεομένων Σοι Ὅσιε, πέμπων τὸ φῶς, τοῖς ἐσκοτισμένοις, Ἀχαρνῶν τὸ προσφύγιον.

Θεοτοκίον.

**Ὕ**δασι τῶν λόγων Σου, τῆς Θεοτόκου τῇ Χάριτι, ἄρδευσον γῆν, τὴν ἐξηραμένην, τῆς καρδίας μου Ἅγιε.

**Καταβασία· Τὸ στερέωμα.**

* * *

**Καθίσματα**

Ἦχος γ΄. Θείας Πίστεως.

**Φ**ῶς οὐράνιον, ἑλκύσας Πάτερ, θείοις δώμασι, τῆς Σῆς καρδίας, θεομακάριστος ἐδείχθης Ἱερώνυμε· καὶ ἀνεγείρας, Μονήν Σου εἰς Πάρνηθα, τῶν Σῶν

Λειψάνων, τὴν Θήκην κατέλιπες, ὡς λυτήριον, τραυμάτων ψυχῆς καὶ σώματος, βεβαίωσιν τρανὴν Γνησίας Πίστεως.

Δόξα. Καὶ νῦν.
Θεοτοκίον. Ὅμοιον.

**Θ**εία γέγονας, Σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας, ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον, σαρκὸς πλημμελήμασιν ἀποκάθαρον, πρεσβειῶν Σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

* * *

## Κανόνων συνέχεια

### Τῆς Θεοτόκου.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

«**Τ**ὴν ἀνεξιχνίαστον Θείαν Βουλήν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, Σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει Σου Κύριε».

**Κ**ράζει Σε Θεόνυμφε ὁ Ψαλμῳδός, Μήτηρ καὶ Σιὼν ὁ θεόπνευστος, ἀλλὰ καὶ Μήτηρ, οὖσα πάντων τῶν πιστῶν, ἐπισκοπεῖς τὰ τέκνα Σου, τὰ μετὰ αἰδοῦς Σὲ δοξάζοντα.

**Κ**λίνην καὶ Φορεῖόν Σε Μήτηρ Θεοῦ, Ἆσμα τῶν Ἀσμάτων προέφησεν, οἱ δὲ τοῦ Κλήρου, Σοῦ Παρθένε Μονασταί, Σκέπην ἀεὶ καὶ Σώτειραν, καὶ Προστάτιδα πάντες Σε κράζομεν.

**Χ**εῖρα τεταμένην τε καὶ Κεφαλήν, Ἰεζεκιὴλ μεμαρτύρηκε, καὶ ἄλλος Βίβλον, τὴν Παρθένον καὶ Ἁγνήν, ἡμεῖς δὲ Θεοτόκον Σε, τὴν ἡμῶν Προστάτιδα κράζομεν.

**Π**άλαι Ἡσαΐας Σε Τόμον Καινόν, ὁ μεγαλοκήρυξ προέφησε· καὶ Ζαχαρίας, Σὲ Λυχνίαν τοῦ Φωτός, ἐν ᾟ Χριστὸς ἐσκήνωσε, Φῶς τὸ ἐκ Φωτὸς Ἀειπάρθενε.

### Τοῦ Ὁσίου.

Ὠδὴ δ΄. Ἐξ ὄρους κατασκίου.

**Μ**ωρίας Καινοτόμων, λόγων Σου δυνάμει, διέλυσας εἰς τέλος, χάριτι Κυρίου, Παρασκευῆς Ἱερώνυμε, θείᾳ σκέπῃ, τῆς καὶ διδούσης Σου τὴν ὅρασιν.

**Ὡ**ραίους Σου ἀγῶνας, ἕνεκα τῆς Πίστεως, τιμῶμεν κατανύξει, Σὲ Ὁμολογίας, ἱερωνύμου φερώνυμον, καὶ ἐν δόξῃ, Σὲ Ἱερώνυμε γεραίρομεν.

Θεοτοκίον.

**Ν**εώσασα τὴν φύσιν, Τόκῳ Σου τῷ θείῳ, ἐνέωσας τὴν Πίστιν, Σὺ τῶν Ὀρθοδόξων, Συγκρητιστῶν δὲ τὰ δόγματα, τὰ ἐν Πίστει, Σὺ Θεοτόκε ἐξηφάνισας.

**Καταβασία· Ἐκάλυψεν οὐρανούς.**

### Τῆς Θεοτόκου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

«**Ἐ**ξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ Σου· Σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί Σε, σωτηρίαν βραβεύουσα».

**Λ**αβὶς θείου Ἄνθρακος, ὑπάρ-

χεις Παντευλόγητε, ἔτι καὶ Παρθένος γαλουχοῦσα, ὡς καὶ Προφήτης, Δέσποινα μόνη Ἁγνή, κατὰ Ἡσαΐου τὴν φωνήν· ὅθεν Σε δοξάζομεν, καὶ πιστῶς μακαρίζομεν.

**Π**αρέστης Βασίλισσα, ἐκ δεξιῶν τοῦ Κτίστου Σου, τοῦ Παμβασιλέως Θεοτόκε, ὁ Προφητάναξ θείως προέφη Δαβίδ, καὶ Ἄθως ὁ Σὸς Κλῆρος βοᾷ, ὡς πλουτῶν τῆς Σκέπης Σου, ἡμῶν Χαῖρε Ὑπέρμαχε!

**Π**λησίον Σε ἔφησε, καὶ Ἀδελφὴν καὶ Νύμφην τε, Ἆσμα Θεοτόκε τῶν Ἀσμάτων· αἱ δὲ Μοναί Σου, λαμπροφοροῦσαι σεπτῶς, ἐν Ἄθῳ κοσμοῦσι τῇ Μορφῇ, τὰ Εἰκονοστάσια, καὶ κροτοῦσί Σε ᾄσμασι.

**Π**ηγήν Σε ἐνσφράγιστον, καὶ Κῆπον κεκλεισμένον τε, βίβλος ἡ αὐτή Σε ὀνομάζει· οἱ δὲ τοῦ Ἄθω πανευσεβεῖς Μονασταί, Προστάτιδα Ἔφορον Φρουρόν, Σκέπην καὶ Μεσίτριαν, Σὲ καλοῦσι τὴν Δέσποιναν.

**Τοῦ Ὁσίου.**

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν Σοι.

**Ἐ**κεῖνον Ὃν ἐπόθησας Κύριον, Τοῦτον ἔσχες, λαμπρὲ Ἱερώνυμε, Μονῆς Σου σκέπην εἰς Πάρνηθα.

**Ὡ**ράϊζες Πατὴρ Ἱερώνυμε, πᾶσαν ψυχήν, διψῶσαν ὡς ἔλαφον, προστρέχουσάν Σοι εἰς Πάρνηθα.

Θεοτοκίον.

**Κ**υρίως προσφωνοῦμέν Σε Δέσποιναν, Μήτηρ Θεοῦ, καὶ τὸν Ἱερώνυμον, θεράποντά Σου θεόδηλον.

**Καταβασία· Ὡς εἶδεν Ἡσαΐας.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

**«Τ**ὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες Ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ Αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες».

**Θ**υγάτηρ πέλεις Πανάμωμε, κατὰ τὸν ψαλμῳδὸν Σολομῶντά τε, τὸν θεοκήρυκα, Μεμνηστευμένην Παρθένον δέ, κατὰ τὸν θεηγόρον, Λουκᾶν ἐν Πνεύματι.

**Ἰ**δοὺ ὁ Κύριος κάθηται, ἐπὶ Νεφέλης Κούφης ἐν Πνεύματι, ὁ μεγαλόφωνος, βοᾷ Προφήτης Θεόνυμφε· ἡμεῖς δὲ μετ᾽ Ἀγγέλου, Χαῖρέ Σοι κράζομεν.

**Π**υρός τε ὅρασις πέφυκας, καὶ θέα ὡς Ἠλέκτρου Πανάχραντε, ὥσπερ ἐν Πνεύματι, ὁ ἱερὸς μεμαρτύρηκε, Προφήτης τοῦ Ὑψίστου, Ἁγία Δέσποινα.

**Ἡ**μέρα νὺξ καὶ ἀλλοίωσις, κατὰ τὸν Προφητάνακτα πέφυκας, Θεογεννήτρια, καὶ ἱλασμὸς τοῖς τιμῶσί Σου, τὸν θεῖον Χαρακτῆρα, καὶ Σὲ δοξάζουσι.

**Τοῦ Ὁσίου.**

Ὠδὴ ϛ΄. Χιτῶνά μοι παράσχου.

**Ὑ**πέμεινας ἐν πίστει διωγμούς, καὶ Παρασκευῆς ταῖς πρεσβεί-

αις ἐπέζησας, Ἱερώνυμε σοφέ, ὁ Πατὴρ ἡμῶν.

Πρεσβείαις Σου φωτίζεις τὰς ψυχάς, τῶν προσερχομένων Σοι πίστει καὶ δάκρυσιν, εὐσυμπάθητε Ποιμήν, Ἱερώνυμε.

Θεοτοκίον.

Ῥημάτων Σου γλυκύτητι πιστῶν, τῶν τεταραγμένων καρδίας εἰρήνευες, Θεοτόκου ταῖς λιταῖς, Ἱερώνυμε.

**Καταβασία· Ἐβόησέ Σοι.**

* * *

## Κοντάκιον καὶ Οἶκος

### Κοντάκιον.

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τοῖς εὐλαβῶς προσιοῦσι πίστει θείᾳ, καὶ τῶν Λειψάνων Σου τὴν Θήκην προσκυνοῦσι, τὴν φωτίζουσαν Χάριν πᾶσιν ἀπονέμεις· καὶ χρίων ἀσπαζομένους εἰκόνα Σήν, χαρίζεις αὐτοῖς ταχέως ῥῶσιν ψυχῆς· Σὺ γὰρ Πάτερ ἐδόξασας, Τριάδα Θείαν λαμπρῶς, διὸ νῦν Ἱερώνυμε, χαίροις πάντες βοῶμέν Σοι.

### Οἶκος.

Νέον Ὅσιον πάντες, εὐφημήσωμεν πίστει, ἡμεῖς οἱ ὑπ᾽ Αὐτοῦ φωτισθέντες· Ἱερώνυμον λέγω σεπτόν, Ὃν ὁ Ἄθως ὥσπερ ἄνθος ἐξήνθησεν, εἰς δὲ τὸ Ὄρος Πάρνηθος διέλαμψε, διὸ βοῶμεν·

Χαίροις, τὸ ἄνθος τῆς Ἀληθείας,

Χαίροις, τὸ κέρας τῆς Ἐκκλησίας·

Χαίροις, τῆς ἀσκήσεως νέον ἐκλάμπρυσμα,

Χαίροις, τῶν Ὀρθοδόξων στεῤῥὸν περιτείχισμα·

Χαίροις, πύργε ἀκλινέστατε, ἐν ᾧ σώζονται λαοί,

Χαίροις, μάννα θεοδώρητον, δι᾽ οὗ κορέννυνται πιστοί·

Χαίροις, Καινοτόμων ὀλετὴρ ἀκμαιότατος,

Χαίροις, τῶν Εὐσεβούντων λιμὴν γαληνότατος·

Χαίροις, Ὁμολογητῶν ἀνανέωσις,

Χαίροις, ἀγωνιζομένων στερέωσις·

Χαίροις, λαμπρὸν καύχημα Ὀρθοδοξίας,

Χαίροις, καινὸν ἥδυσμα Ὀρθοπραξίας·

Χαίροις, Μύστα τῆς Χάριτος!

### Μηνολόγιον.

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱερωνύμου τοῦ Νέου, τοῦ ἐν Ἀχαρναῖς τῆς Πάρνηθος, τοῦ καὶ Κτήτορος τῆς Γυναικείας Ἱερᾶς Μονῆς τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς.

### Στίχοι.

Θεῷ παρασκευάσας σεαυτὸν τοῖς ἱεροῖς τρόποις,
Φερώνυμος Πάτερ καὶ δισσῶς ὤφθης,
Ἱερώνυμε ἄνθος ἐρήμου καὶ μάρτυς,
Πέμπτῃ καὶ δεκάτῃ Ἰανουαρίου βίου ἀπέστης.

## Συναξάριον

Ὁ ἐν Ὁσίοις νέος οὗτος Πατὴρ ἦν ἐκ τῆς εὐάνδρου Κρήτης, υἱὸς τῶν εὐσεβῶν Κωνσταντίνου καὶ Εἰρήνης Γερ(ο)αντωνάκη, γεννηθεὶς ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ (1867ῳ), ἐν τῷ χωρίῳ Βλάτος τῆς Ἐπαρχίας Κισάμου τοῦ Νομοῦ Χανίων, μέλος ὢν εὐλογημένης καὶ πολυτέκνου οἰκογενείας, ἔχων ἀδελφοὺς τέσσαρας καὶ ἀδελφὴν μίαν.

Ἐκ νεαρᾶς ἡλικίας διεκρίνετο διὰ τὴν βαθεῖαν εὐσέβειαν καὶ τὴν ἐν Χριστῷ εὐγένειαν, τὴν σοβαρότητα, τὸ ὀλιγόλογον, τὸ ἀσκητικόν, τὸ προσευχητικόν, τὴν ταπείνωσιν, τὴν ἀγάπην καὶ τὴν ἐγκάρδιον πίστιν.

Ἔλαβε τὴν ἐγκύκλιον μόρφωσιν ἐν τῇ περιωνύμῳ Ἱερᾷ Μονῇ Χρυσοπηγῆς εἰς τὰ Χανιά, ἔνθα καὶ συνεδέθη διὰ φιλίας ἐν Χριστῷ μετὰ τοῦ συντοπίτου αὐτοῦ καὶ μετέπειτα Ἁγιορείτου Πνευματικοῦ Ματθαίου Λαυρεώτου καὶ Σιμωνοπετρίτου, εἶτα δὲ Ἐπισκόπου Βρεσθένης († 1950).

Ἐν ἔτει 1891ῳ, εἰσελθὼν καὶ ἀφιερωθεὶς εἰς τὴν παλαίφατον Ἁγιορειτικὴν Ἱερὰν Μονὴν τοῦ Ὁσίου Παύλου Ξηροποταμινοῦ (Η´ αἰ.) καὶ διανύσας βίον θεάρεστον, μετὰ διετίαν ἐκάρη Μοναχός, λαβὼν τὸ ὄνομα Ἱερώνυμος καὶ συνέχισε τὴν οὐρανοδρόμον πορείαν αὐτοῦ, ἔμπλεως θείου ἔρωτος, ἀξιωθεὶς μάλιστα καὶ ἐξαιρετικῆς Θεοτοκοφανείας.

Μετὰ τὴν θείᾳ νεύσει Χειροτονίαν αὐτοῦ εἰς Ἱερομόναχον, αὐξήσας τοὺς ἐν Χριστῷ καὶ διὰ Χριστὸν κόπους τῆς ἀσκήσεως, καταφλεγόμενος δὲ ὑπὸ τῆς ἀγάπης τοῦ Οὐρανίου Νυμφίου, ἠνοίχθη εἰς τὴν Ἔρημον τοῦ Ἁγίου Ὄρους, μόνος μόνῳ τῷ Θεῷ διαιτώμενος, ὡς Ἄγγελος δοξάζων καὶ εὐχαριστῶν νυχθημερὸν τὸν ἐν Ἁγίοις ἀναπαυόμενον παντελεήμονα Θεόν.

Σοβαρά τις πάθησις τῶν ὀφθαλμῶν αὐτοῦ, ἐπιφέρουσα σταδιακὴν ἀπώλειαν τῆς ὁράσεως αὐτοῦ, ὑπεχρέωσε τὸν Ὁσιώτατον Γέροντα, ὅπως ἐξέλθῃ ἐν ἔτει 1923ῳ τοῦ Ἁγιωνύμου Ὄρους, πρὸς ἀναζήτησιν θεραπείας εἰς τὰς Ἀθήνας, ἔνθα οἰκονομίᾳ Θεοῦ παρέμεινεν ἕως τῆς ὁσιακῆς ἐκδημίας αὐτοῦ πρὸς Κύριον, μετὰ δύο δεκαετίας που, διαλάμψας ὡς Ὁμολογητὴς τῆς Πίστεως καὶ διωχθεὶς ποικιλοτρόπως, ὡς ἀντιταχθεὶς στερῤῥῶς εἰς τὴν ἐκ Δυσμῶν Ἡμερολογιακὴν Καινοτομίαν ἐν ἔτει 1924ῳ, ἅμα δὲ ἀναδειχθεὶς εἰς Μέγαν Διδάσκαλον τῆς ἐν Ἁγίῳ Πνεύματι Ἐκκλησιαστικῆς Ζωῆς, Προορατικὸν καὶ Σημειοφόρον Πνευματικὸν Ὁδηγὸν τῶν Ζηλωτῶν τῆς Πατρῴας Εὐσεβείας, Λαϊκῶν, Κληρικῶν τε καὶ Μοναχῶν.

Θαυμαστῷ τῷ τρόπῳ, νεύσει θείᾳ, παρὰ τὴν ἀπώλειαν τῆς ὁράσεως αὐτοῦ, ὁ ἐν Ὁσίοις Πατὴρ ἡμῶν Ἱερώνυμος ἠξιώθη, ὅπως ἱδρύσῃ τὴν παρὰ τὰς Ἀχαρνὰς τῆς Ἀττικῆς, εἰς τὰς ὑπωρείας τῆς Πάρνηθος, ἐν ἔτει 1926ῳ καὶ ἑξῆς, τὸ ἱερὸν Σεμνεῖον τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς, πόλον ἕλξεως εὐλαβῶν Μοναζουσῶν, ταυτοχρόνως δὲ νὰ καλλιεργήσῃ ἔτι καὶ ἔτι τὸ ποιητικὸν ἅμα τε καὶ διδακτικὸν χάρισμα αὐτοῦ, ὡς φύσις εὐαίσθητος καὶ ποιητική, καταλιπὼν ἀναριθμήτους σελίδας ἐμμέτρου ποιητικοῦ λόγου.

Ἐν ἔτει 1943ῳ, μηνὶ Ἰανουαρίῳ, τῇ ιε´, παρέδωκε τὴν ὁσιακὴν αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ ζῶντος, Ὃν ἠγάπησεν ἐκ νεότητος αὐτοῦ καὶ διηκόνησεν εὐόρκως, καταυγαζόμενος ὑπὸ τοῦ Ἀκτίστου Φωτὸς καὶ διαβιῶν συμφώνως τῇ Ἀθωνικῇ Ἡσυχαστικῇ Παραδόσει.

Τὸ χαριτόβρυτον αὐτοῦ Σκῆνος ἐτάφη ἐν τῇ Ἱερᾷ αὐτοῦ Μονῇ τῆς Ἁγίας Παρασκευῆς παρὰ τὰς Ἀχαρνάς, ἔνθα καὶ ἡ Σύναξις αὐτοῦ ἐπιτελεῖται, τὰ δὲ θαυματόβρυτα Λείψανα αὐτοῦ, ἀνα-

κομισθέντα ἐν ἔτει 2000ῷ, εὐλογίαν καὶ εὐωδίαν ἀποπνέουσι πρὸς δόξαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. **Ἀ**μήν.

**Τ**αῖς Αὐτοῦ ἁγίαις πρεσβείαις,
Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς.
**Ἀ**μήν.

* * *

## Κανόνων συνέχεια

### Τῆς Θεοτόκου.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

«**Ο**ὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ».

**Π**αντευλόγητε, τὴν γῆν ἡ οὐρανώσασα, τῷ θείῳ τόκῳ Σου· διὸ καλῇ Οὐρανός, κατὰ τὸν θεόπνευστον, Δαβὶδ τὸν λέγοντα· Ὅτι Κύριος, ἐξ οὐρανοῦ ἐπέβλεψεν, ὁ ἀεὶ Εὐλογημένος.

**Ἐ**κ Σοῦ Ἄχραντε, ὁ Ἥλιος ἀνέτειλε, Χριστὸς ὁ Κύριος, Ἀνατολὴν δὲ οὐκοῦν, καλεῖ Σε ἐν Πνεύματι, Δύσιν δὲ πάλιν τε, ὁ θεόπνευστος, ἡμεῖς δὲ Θεοτόκον Σε, τὴν ἀεὶ Εὐλογημένην.

**Τ**ὰ ὁρμήματα, τοῦ ποταμοῦ εὐφραίνουσι, πόλιν τὴν ἔμψυχον, Θεοῦ τοῦ ζῶντος Ἁγνή· διόπερ καὶ Ἥλιος, καὶ Πόλις εἶ τοῦ Θεοῦ, Ὑπερύμνητε, ὡς ὁ Δαβὶδ προείρηκε, ὁ Προπάτωρ Σου Παρθένε.

**Τ**όπον λέγει Σε, ὁ Ἰακὼβ καὶ Κλίμακα, καὶ Πλίνθον ἕτερος, οἱ δὲ τοῦ Σοῦ φοιτηταί, τοῦ Κλήρου καλοῦμέν Σε, Λιμένα εὔδιον, ὦ Πανάχραντε, καὶ σωτηρίας πρόξενον, καὶ ἀντίληψιν καὶ σκέπην.

### Τοῦ Ὁσίου.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

**Ἴ**δετε κάκωσιν ψυχῆς μου, τῆς ἐν πάθεσι δεινῶς χειμαζομένης· ἀναψύξατε οὖν, λιτῶν Ὑμῶν τῇ δρόσῳ, Παρασκευὴ θεόγνωστε, Ἱερώνυμε θεόπτα.

**Ἅ**γνισον νοῦν μου καὶ καρδίαν, τῇ ἀγνοίᾳ καὶ τῇ λήθῃ πωρωθεῖσαν, καὶ τῷ θείῳ φωτί, ὁσίων πρεσβειῶν Σου, τὸν θησαυρὸν παράσχου μοι, τὸν τοῦ Πνεύματος, φωτόφρον.

Θεοτοκίον.

**Ν**εῦσον ἐμοὶ τῷ ἀχαρίστῳ, απογνώσεως πελάγει νηχομένῳ, καὶ ἐλπίδος ῥοαῖς, διάσωσον βοῶντι· Ἐλπιδοτόκε Πάναγνε, ἡ Τροφὸς Ἱερωνύμου.

**Καταβασία· Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.**

### Τῆς Θεοτόκου.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

«**Π**αῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλου-

σαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

**Σ**ὲ ἐν γυναιξὶν Εὐλογημένην, Λουκᾶς ἐν Ἁγίῳ ἔφη Πνεύματι· Πόκον δὲ θεόδροσον, Θεοτόκε Πάναγνε, ὁ Γεδεὼν προεῖδέ Σε, καὶ ὁ Δαβὶδ οἱ κλεινοί, Προφῆται, τοῦ Υἱοῦ Σου Παρθένε, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

**Α**ὖθις Μαριὰμ ὁ θεηγόρος, Λουκᾶς ὁ αὐτὸς καὶ Μακαρίαν Σε, ἔφη ὁ δ᾿ Ἀρχάγγελος, τὸ Χαῖρέ Σοι προείρηκε, Ὃς ἐκ Θεοῦ παρέστη Σοι, ἀπ᾿ Οὐρανοῦ καταπτάς, ὁ θεῖος, Γαβριὴλ Θεοτόκε, ὁ τῶν Μυστηρίων, διάκονος τῶν θείων.

**Σ**ὲ τὴν Θεοτόκον καὶ Παρθένον, Προφῆται οἱ θεηγόροι προκατήγγειλαν· οὗτοι γὰρ ἐν Πνεύματι, Σὲ προεωράκασι, Θεοῦ καὶ προειρήκασι, τοῖς πᾶσιν Ἄχραντε, τὰ Σοί, παρὰ Θεοῦ μεγαλεῖα, καὶ τὸν ἐν ὑστέροις, καιροῖς ἐκ Σοῦ τεχθέντα.

**Ἄ**πειρα ὑπάρχει Σου Παρθένε, καὶ πλήρη τὰ μεγαλεῖα καὶ ἐξαίσια, Σοῦ καὶ τὰ ὀνόματα, ἀλλὰ καὶ οἱ δοῦλοί Σου, οἱ γνήσιοί Σου Δέσποινα, πολλά Σοι ἔπλεξαν, ἐγκώμια, καὶ ὕμνους καὶ λόγους, καὶ πρὸς τὸν Υἱόν Σου, τὸν μόνον Θεὸν Λόγον.

**Τοῦ Ὁσίου.**

Ὠδὴ η΄. Οἱ θεοῤῥήμονες Παῖδες.

**Ὁ**λικωτάτῃ ψυχῇ Θεὸν ἀγαπήσας, ὁλολαμπὴς συγχορεύεις, Παρασκευῇ ἐν λαμπρότησι τῶν Ἁγίων ἐν δόξῃ, Τριάδος φαιδρότησιν.

**Ὕ**ψωσας νοῦν Σου Ἡλίῳ τῷ Ἀνεσπέρῳ, Παρασκευῆς βοηθείᾳ, καὶ φωταυγὴς Σὺ γενόμενος, Ἱερώνυμε Πάτερ, φωτίζεις τὰ τέκνα Σου.

Θεοτοκίον.

**Σ**εμνολογίαις ἀπαύστοις ἡ Ἐκκλησία, ἐγκωμιάζει τὸν Λόγον, τὸν κενωθέντα Ὑπέρθεον, Ἱερώνυμε θεῖε, Παρθένου τὸ ἥδυσμα.

**Καταβασία· Ἀστέκτῳ πυρὶ ἑνωθέντες.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

«**Ἅ**πας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις Παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε».

**Ἅ**πας γηγενής, θαυμάζει γηθόμενος τὰ μεγαλεῖά Σου, Μῆτερ ἀειπάρθενε, καὶ τῶν θαυμάτων Σου, τὸ ἀπέραντον· τὴν δὲ σεπτὴν Εἰκόνα Σου, καὶ χαριτόβρυτον, μεγαλύνει, τῶν Ἀγγέλων Σύστημα, ὁ δὲ δῆμος πιστῶν μακαρίζει Σε.

**Ἄ**γει Ἑορτήν, Παρθένε ἡ ποίμνη Σου, ἡ ἐν τῷ Ἄθωνι, ἐπὶ τῇ Συνάξει Σου, καὶ μνείαν ἄγουσα τῶν Θαυμάτων Σου, τοῖς πᾶσι διαγγέλει Σου, τὰς θείας χάριτας, καὶ προνοίας, ἃς περὶ τὸν Κλῆρόν Σου, Θεοτόκε παρέχεις ἑκάστοτε.

**Χ**αίρει καὶ σκιρτᾷ, νῦν ἡ Κληρουχία Σου, καὶ γὰρ ἐπλούτησε, Μῆτερ Ἀειπάρθενε, Σὲ Πολιοῦχον, καὶ ἀντιλήπτορα, Ἣν περιέπεις ἄνωθεν, τοὺς δ᾽ ἐν αὐτῇ σκολιούς, μὴ παρόψῃ, τοὺς ἐχθρούς Σου Δέσποινα, ἀλλ᾽ ἀπόδος αὐτοῖς τὰ ἐπίχειρα.

**Δ**έχου προσηνῶς, τοῦτό μου τὸ πρόσφορον, Θεοχαρίτωτε, τοὺς ἀνευφημοῦντας δέ, καὶ ἀνυμνοῦντας, τὰ μεγαλεῖά Σου, τῆς θείας δόξης Ἄχραντε, μετόχους ποίησον, χορηγοῦσα, τῶν πταισμάτων ἄφεσιν, ταῖς λιταῖς Σου πρὸς Κύριον πάντοτε.

**Τοῦ Ὁσίου.**

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

**Τ**εῖχος θεόδμητον Μονή, ἣν ἀνήγειρας σεπτὲ Ἱερώνυμε, τέχνας τοῦ δαίμονος, στεῤῥῶς ἐκκροῦον Χάριτι Πνεύματος, Παρασκευῆς δὲ ἱεραῖς, πρεσβείαις τῆς Μάρτυρος, διό Σε ἅπαντες, εὐγνωμόνῳ τῇ φωνῇ νῦν γεραίρομεν.

**Ὄ**ρος τῆς Πάρνηθος φωτός, ὡς θεόῤῥητος πηγή, δίψαν τοῦ Πνεύματος, Πιστῶν τρεχόντων πάντων σβεννύουσα, ἡ δὲ Λειψάνων Σου Σορός, ὡς Ὄρος τῆς Χάριτος, τὸ βλύζον θαύματα, καὶ διῶκον τοῦ ἐχθροῦ τὰ πανουργεύματα.

**Ν**άματα Πνεύματος Θεοῦ, ἐκ χειλέων Σου γλυκύφθογγα ῥήματα, τρέφοντα ἅπαντα, ζητοῦντας Ἄρτον Θεῖον τῆς Χάριτος, καὶ γνησιώτατον καρπόν, ἐν Πίστει καὶ Ἤθεσι, καὶ τῆς Προστάτιδος, τῆς σεπτῆς Παρασκευῆς τὴν παράκλησιν.

**Ὅ**λῃ καρδίᾳ καὶ ψυχῇ, ἀνυψοῦμέν Σε κλεινὲ Ἱερώνυμε, ὅτι ἀνύψωσας, Χριστὸν Σωτῆρα θείαις ἀσκήσεσι, τῇ βοηθείᾳ τῆς Μητρός, Παρθένου Θεόπαιδος, Ἣν καὶ ἀνύμνησας, καὶ ποιήμασι καὶ βίου λαμπρότητι.

Θεοτοκίον.

**Σ**ῶσον τοὺς δούλους Σου Ἁγνή, τοὺς τιμῶντας σεπτὸν Ἱερώνυμον, θεῖον θεράποντα, Τριάδος θείας, Σὲ δὲ ὑμνήσαντα, παρθενικότητι ζωῆς, φροντίδι ἀμνάδων Σου, Ὃν καὶ ἐδόξασας, ἐν ζωῇ καὶ μετὰ θάνατον Ἄχραντε.

**Καταβασία· Ἐν νόμῳ, σκιᾷ καὶ γράμματι.**

* * *

## Ἐξαποστειλάρια

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

**Θ**εομιμήτως Πάτερ, ὦ Ἱερώνυμε κληθείς, καὶ διὰ φωτὸς τοῦ Θείου, πᾶσιν ἐκλάμψας ὡς φωστήρ, Παρασκευῇ τῇ Ἁγίᾳ, συνανυμνεῖσαι ἀξίως.

Θεοτοκίον. Ὅμοιον.

**Ὁ** γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

* * *

## Εἰς τοὺς Αἴνους

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου γ΄, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

**Δ**εῦτε προσφέρωμεν ἅπαντες, τῶν Ὀρθοδόξων Χοροί, εὐωδίας θυμίαμα, ἐν Μονῇ τῆς Πάρνηθος, μελῳδίας ἐν δάκρυσι, σεμνολογοῦντες, Κτήτορα ἅγιον, καὶ ἐκ βαθέων ἀναβοήσωμεν· ὢ Ἱερώνυμε, τῶν Πιστῶν νεόφωτε, λαμπρὲ ἀστήρ, ἀδύτως ἐκλάμπεις νῦν, εἰς ὁδηγίαν ἡμῶν. (δὶς)

**Ὕ**μνους ὁσίους ἐπάδοντες, ἐν καθαρότητι νοῦ, νῦν λαμπρῶς εὐφημήσωμεν, τὸν Ποιμένα ἅπαντες, τὸν γλυκὺν καὶ φιλάνθρωπον, καὶ συγγραφέα, τὸν γλαφυρώτατον, τὸν θεωθέντα φωτὶ τοῦ Πνεύματος· ὢ Ἱερώνυμε, τῶν πλανῶν καθαίρεσις, τῶν δὲ Πιστῶν, θεόδωρον ἥδυσμα, καταδροσίζον αὐτούς.

**Μ**ύστην Εὐχῆς ἱκετεύσωμεν, τοῦ δωρηθῆναι ἡμῖν, κατανύξεως δάκρυα, τοῦ νοὸς διαύγειαν, καὶ τὴν ἄνωθεν ἔλλαμψιν, τοῦ Παρακλήτου, Πνεύματος ἅγνισιν, καὶ τῆς καρδίας τὸ εὐσυμπάθητον· ὢ Ἱερώνυμε, τοῦ Φωτὸς συνόμιλε, καὶ τοῦ Χριστοῦ, θεῖον ἐνδιαίτημα, ἀνακαινίζον ἡμᾶς.

Δόξα. Ἦχος πλ. δ΄.

**Τ**ῶν φιλεόρτων δῆμοι, τὸν λαμπροφεγγῆ Σε ἀστέρα γεραίρομεν· ἐν Μονῇ Σου τῇ θείᾳ, ἀγῶνας τελέσας, τοὺς δαίμονας ᾔσχυνας. Λυχνία χρυσῆ, ἀληθῶς ὡράθης, Πάρνηθος κλέϊσμα· ἀθλήσας νομίμως γάρ, ἐστήριξας Ποίμνιον τῶν Γνησίων· καὶ νῦν τὰ τέκνα Σου σκέπασον, γρηγοροῦντα καὶ τιμῶντά Σε.

Καὶ νῦν.

Θεοτοκίον. Ὁ αὐτός.

**Τ**ὰ Οὐράνια ὑμνεῖ Σε, Κεχαριτωμένη Μήτηρ Ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν Σου Κύησιν· Θεοτόκε πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δοξολογία Μεγάλη.**

**Τὸ Ἀπολυτίκιον.**

**Ἡ** Ἐκτενὴς καὶ τὰ **Π**ληρωτικά.

Ἀπόλυσις.

* * *

# Ἐν τῇ Θείᾳ Λειτουργίᾳ

**Τυπικά.**

**Ὁ** Ψαλμὸς ρβ΄, Ἦχος πλ. δ΄, ὡς καὶ ὁ Ψαλμὸς ρμε΄, Ἦχος β΄.

●

**Μακαρισμοί.**

Ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου, ἐκ τῆς Ὠδῆς γ΄ καὶ ἐκ τῆς Ὠδῆς ϛ΄.

**Ἀπόστολος.**

**Β**λέπε Παρασκευὴ τῆς ΙΘ´ Ἑβδομάδος, Πρὸς Φιλιππησίους α´ 27 - β´ 4.

**Β**λέπε Ἐπίμετρον, σελ. 30.

**Εὐαγγέλιον.**

**Β**λέπε, Νοεμβρίου ς´, ἐκ τοῦ κατὰ Λουκᾶν, ιβ´ 8-12.

**Β**λέπε Ἐπίμετρον, σελ. 33.

•

**Κοινωνικόν.**

Ψαλμὸς ρια´ 6.

**Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

* * *

**Μεγαλυνάριον**

Ἦχος πλ. δ´.

**Χ**αίροις τῶν Ὁσίων ἄνθος καινόν, Πάρνηθος ἡ κρήνη, ἡ δροσίζουσα τοὺς Πιστούς, τῆς Ὀρθοδοξίας, καὶ τῆς Ὀρθοπραξίας, κανὼν καὶ θεία στάθμη, ὦ Ἱερώνυμε!

* * *

**Στίχοι**

**Τ**ῷ πονήσαντι Σὺ Χάριν Χριστὲ δίδου,
ὑμνήσαντι γέρας Ἱερωνύμου.

**Ν**όστον ἐκ βάθους τῷ Χριστῷ ἀναφέρω,
ἐν συντριβῇ ᾄδων τὰ Ἱερωνύμου.

**Ὕ**μνους τῶν ἄθλων τῷ Θεῷ νῦν προσφέρω,
Κυπριανὸς τάλας τοῦ Ἱερωνύμου.

†

*Τῷ δὲ Δοτῆρι*
*καὶ Εὐεργέτῃ Θεῷ ἡμῶν,*
*τῷ Πατρί, καὶ τῷ Υἱῷ*
*καὶ τῷ θείῳ Παρακλήτῳ,*
*δόξα, προσκύνησις,*
*καὶ εὐχαριστία!*
*Ἀμήν!*



## Περὶ τῶν ἐν ἑκάστῃ Ὠδῇ τῶν Κανόνων τοῦ Ὄρθρου ψαλλομένων Τροπαρίων*

**α.** Ἐν ἑκάστῃ Ὠδῇ τῶν Κανόνων τοῦ Ὄρθρου, **τὰ Τροπάρια τῶν Κανόνων μετὰ τοῦ Εἱρμοῦ ὀφείλουσι γίνεσθαι ιδʹ,** ἐκτὸς τῆς Μεγάλης Τεσσαρακοστῆς καὶ τῶν μεθεόρτων, ὅτε γίνονται ὡς ἐν ταῖς περὶ αὐτῶν διατάξεσι διαλαμβάνεται.

**β.** Εἰς τοὺς Κανόνας τοὺς εἰς οἱανδήποτε ἄλλην περίστασιν ψαλλομένους **οὔκ ἐστιν ὡρισμένη ἡ ποσότης τῶν τροπαρίων ἑκάστης Ὠδῆς.** Μόνον ἀνάγκη ἐστίν, ἵνα ἐν ἑκάστῃ Ὠδῇ ὦσιν ἄρτια τὰ Τροπάρια, διὸ καὶ ἐὰν ὦσι γʹ δευτεροῦμεν τὸ πρῶτον ἵνα γίνωσι τέσσαρα, ἐὰν ὦσι εʹ δευτεροῦμεν τὸ πρῶτον ἵνα γίνωσιν ἕξ, καὶ οὕτω καθεξῆς· ἐὰν δὲ ὦσιν ἄρτια, οὐδὲν διπλασιάζομεν.

**γ.** Εἰς τὰς Μνήμας τῶν ἑορταζομένων Ἁγίων, ἐν αἷς οὐ ψάλλεται Παρακλητική, ὅταν τύχωσιν ἐκτὸς Κυριακῆς, προεορτίων, μεθεόρτων καὶ τῆς Μεγάλης Τεσσαρακοστῆς, ἐν τῷ Ὄρθρῳ ψάλλεται ὁ Κανὼν τῆς Θεοτόκου *Πολλοῖς συνεχόμενος πειρασμοῖς* (ἤτοι ὁ τῆς Μικρᾶς Παρακλήσεως) μετὰ τῶν Εἱρμῶν εἰς ϛʹ καὶ ὁ τοῦ Ἁγίου εἰς ηʹ.

- Μόνον ἐν ταῖς Μνήμαις τοῦ Θεολόγου Ἰωάννου (Σεπτεμβρίου κϛʹ), Ἀποστόλου Ἀνδρέου, Ἁγίου Νικολάου, Τριῶν Ἱεραρχῶν καὶ Ἁγίου Παντελεήμονος, ὑπάρχει δι᾽ ἑκάστην αὐτῶν ἴδιος Κανὼν τῆς Θεοτόκου, ὡς ἀναγράφεται ἐν τοῖς Μηναίοις.
- Ἐν δὲ ταῖς Μνήμαις τοῦ Γενεθλίου τοῦ Προδρόμου, καὶ τῶν Ἁγίων Ἀποστόλων τῶν τε κορυφαίων καὶ τῶν δώδεκα (κθʹ καὶ λʹ Ἰουνίου), ἐν τῷ Ὄρθρῳ Κανὼν τῆς Θεοτόκου οὐ ψάλλεται (ἐκτὸς ἐὰν τύχωσιν ἐν Κυριακῇ), ἀλλὰ λέγεται ὁ πρῶτος Κανὼν τοῦ Ἁγίου μετὰ τῶν Εἱρμῶν εἰς ηʹ καὶ ὁ δεύτερος ἄνευ τῶν Εἱρμῶν εἰς ϛʹ.

---

(*) Βλ. Γεωργίου Ῥήγα Οἰκονόμου, Τυπικόν, Λειτουργικὰ Βλατάδων – 1, σελ. 92-94, ἔκδ. Πατριαρχικοῦ Ἱδρύματος Πατερικῶν Μελετῶν, Θεσσαλονίκη 1994.





Τοῦ Ὁσίου Ἱερωνύμου Πάρνηθος

# Ὕμνος
# εἰς τὴν Ἁγίαν Ὁσιοπαρθενομάρτυρα τοῦ Χριστοῦ Παρασκευὴν

*Δεῦτε σεμναὶ νεάνιδες καὶ φρόνιμοι παρθένοι,*
